## Πόρισμα γ'.

Ἐν οἷς οὐ πνέει τὸ τρόφιμον, ἀπρακτεῖ ἐν ἀλόγοις ζώοις ἡ ὄσφρησις, περὶ τὰς ἄλλας ὀσμὰς τάς τε εὖ καὶ τὰς ἄλλως ἐχούσας. κύνες γὰρ ὀσμὰς λαγωῶν ῥινηλατοῦσι διὰ τὸ τρόφιμον, καὶ μέλισσαι ἐφίπτανται τοῖς ἄνθεσι, τὸ εὔπνουν ὑγρὸν ἀνιμῶσαι. μυῖαι δὲ ἐφιζάνουσι τοῖς σαπροῖς, δυσωδίας αὐτῶν ἥκιστα ἐπαισθανόμεναι. καὶ κύνες διασπαράττουσι τὰ θνησιμαῖα ὀδωδότα, τῆς δυσωδίας αὐτῶν μὴ ἐπιστρεφόμενοι.

## Πόρισμα δ'.

Ἐν ἡμῖν ἄρα καὶ μόνοις παρὰ τὸ τρόφιμον, καὶ τὸ εὐῶδες καὶ δυσῶδες ἡ ὄσφρησις ἐπαισθάνεται. τὸ μὲν γὰρ εὐῶδες ψύχει καὶ ὑποθερμαίνει τὸν ἐγκέφαλον. δυσωδία δὲ τὸ δυσκραὲς καὶ διεφθορὸς τοῦ ὀσφραντοῦ ὑποσημαίνει εἰς ἀποτροπήν. τὰ γὰρ δύσοδμα καὶ ὅλως σεσηπότα καὶ ὄζοντα, ὅσα τε λοιμώδη, τοῦ διεφθορότος ἀέρος εἰσρέοντος διὰ τῶν μυκτήρων οὐ διὰ τὴν ὄσφρησιν, ἀλλὰ διὰ τὴν ἐσωτέραν ἀφὴν προσκολλώμενα λυμαίνεται τὰ λοιπὰ τῶν ζώων. ἀνθρώπους δὲ καθ' ἑκάτερον βλάπτει, εὐθίκτους πάνυ λαχόντας ἐργασίας τοῦ ἐγκεφάλου. φευκτέον ἄρ' ἡμῖν τὰ λοιμώδη ἀποτρεπομένοις τὸν διεφθορότα ἀέρα, καὶ πᾶσαν ἄλλην ἀκαθαρσίαν ἀπόζουσαν. παθητικωτάτη γὰρ ἐν ἡμῖν, ὥσπερ ἡ ἀκοή, οὕτω τοι καὶ ἡ ὄσφρησις, διὰ τὴν λεπτότητα τοῦ πνεύματος.

Πε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ Ἀκοῆς.

Ἡ Ἀκοὴ ἐστὶ μάλιστα διὰ ἀέρος αἴσθησις. πλῆξις γάρ ἐστι τοῦ ἀέρος διά τινος νευρώδους ὑμένος ἐπὶ τὸ ζωτικὸν πνεῦμα διαβαίνουσα, καὶ τοῦτο ποικίλως ἀλλοιοῦσα, κατὰ τὰς κινήσεις καὶ τὰ πάθη, καθ' ἃ κεκίνηται καὶ πέπονθεν ὁ ἀὴρ πληγείς. πλήττεται δὲ ὁ ἀήρ, ἢ ξηροῦ τῷ ξηρῷ προσβαλόντος, ἢ τῷ ξηρῷ τοῦ ὑγροῦ ἐμπεσόντος, ἢ ἀνάπαλιν. ἔστι τοίνυν ἡ ἀκοὴ τῶν ἐκ κινήσεως παθῶν, παντοίως κινουμένου τοῦ ἀέρος ἀντιληπτικὴ συγκίνησις τοῦ ἐν ἡμῖν πνεύματος. διὸ καὶ τὸ νευριτικὸν εὐθὺς συγκινεῖ καὶ συνταράσσει, αὐτὰ τὰ πάθη τοῦ ἀέρος ἐντυποῦσα τῷ πνεύματι. μεμέρισται δὲ κατὰ τὰ εἴδη, διαφορὰς ἔχουσα ἐν τοῖς συναισθομένοις. αἱ γὰρ δυνάμεις τῶν οὐσιῶν καὶ αἱ ἐνέργειαι ἐπιτείνονται καὶ ὑφίενται καὶ ἐν εἴδεσι, καὶ ἐν ἀτόμοις. κρίνει δὲ κατὰ μεσότητα τότε εὖ, καὶ τὸ ἀνάλογον, καὶ ἑπομένως τὸ τερπνόν, τό, τε ἀνάρμοστον, καὶ δυσηχές, ὕφεσίν τε, καὶ ἐπίτασιν τῆς κινήσεως. συνημμένη δὲ οὖσα ταῖς ἄλλαις αἰσθήσεσιν, ὅτι ἐν τῷ αὐτῷ ὑποκειμένῳ, καὶ ὅτι τῆς κινήσεως ἰδίως ἀρχικῆς οὔσης ἐν πάσῃ μεταβολῇ ἀντιληπτικὴ γίνεται παθῶν. συγκινεῖ γὰρ διεγείρει καὶ τὰς ἄλλας αἰσθήσεις, μάλιστα διὰ μνήμης. θαυμαστὴ δ' οὖν ἡ δύναμις ταύτης τῆς αἰσθήσεως ὅτι ταχυτέρα τῶν ἄλλων ξιῶν, ὅτι τε τῶν παντοίων κινήσεων ἐν τῷ ἀέρι ἀτάκτως ἀντιληπτικὴ ὁμοῦ καὶ ἅμα τῶν τε συνεχῶν, τῶν τε διακεκριμένων, τῶν τε

πόρ-

πόῤῥωθεν καὶ τῶν ἐγγύθεν, τῶν τε πρότερον καὶ ἡγουμένων, τῶν τε ὕστερον καὶ ἑπομένων τῶν παντοδαπῶν ἤχων καὶ φωνῶν διατυποῦσα τὰς ἰδιότητας, καὶ τὰ πάθη τῶν προσπιπτόντων καὶ συγκινούντων τὸν ἀέρα διαφόρως καὶ πολυτρόπως, καὶ συγκινούντων τὸ ζωτικὸν πνεῦμα. τοῦτο γοῦν καὶ πάσχειν πως καὶ ταράττεσθαι ἐνίοτε ἔοικε, καὶ ἥδεσθαι τὰ πολλὰ καὶ ἐφηρεμεῖν διάχυσιν ἁδρὸν ἐν τῇ προσφυεῖ καὶ ἀναλόγῳ συγκινήσει. ἀεὶ γὰρ τὸ ζῶν κατ' αἴσθησιν ἀνάλογον τῷ ζωτικῷ πνεύματι ἥδεται, καὶ κατ' αὐτὴν ἐφηρεμεῖ καὶ τέρπεται εἴτε ἁπτόμενον, εἴτε γευόμενον, εἴτε ὀσμώμενον. ἡδέα γὰρ ταῦτα ἔχει τῶν αἰσθητῶν, ὅσα τῇ ἑαυτοῦ κράσει συντρέχει. ἀκοὴ ἄρα ἁρμονίως συγκινοῦσα τὸ πνεῦμα πρὸς τὴν αὐτοῦ φύσιν διαχέει, καὶ τέρπει μάλιστα.

## ΣΧΟΛΙΟΝ.

Ἐμπεδοκλῆς τῷ ὁμοίῳ τὸ ὅμοιον ἐπαισθάνεσθαι φρονῶν, τῇ διαφορᾷ τῶν πόρων διέκρινε τὰς αἰσθήσεις, μηδὲν προσδιορισάμενος αὐταῖς οὐ σχῆμα, οὐ μέγεθος, ἐπεισάγων τὴν ἐφάρμοσιν ἐκ τῶν ἔξωθεν. Δημόκριτος δ' εἰσροὴν χυμῶν τὴν αἴσθησιν εἰπὼν, ἀφελῶς ἔδοξε λέγειν. οὔτε γὰρ εἰσροὴ τῶν ἔξωθεν σωμάτων κατὰ Δημόκριτον, οὔτε ἐφάρμοσις κατ' Ἐμπεδοκλέα ἡ αἴσθησις. τίνος γάρ; τοῦ ἐν τῷ ζώῳ, ἢ τοῦ προσιόντος ἔξωθεν ἡ αἴσθησις, εἴπερ τῷ ὁμοίῳ τὸ ὅμοιον ἐφαρμόζεται; ἤτοι γοῦν ἑκατέρου, ἢ τοῦ ἑτέρου. καὶ εἰ μὲν τοῦ ἐν τῷ ζώῳ, ἀεὶ ἔσται ἐν αὐτῷ ἐνεργείᾳ

ἢ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἡ αἴσθησις οὐκ ἂν αἴσθοιτο, ὅτι τὰ ἐν αὐτῷ ἑαυτοῖς ἐφήρμοσται, καὶ ἑαυτῶν μόνων ἔσται ἡ αἴσθησις· εἰδὲ τοῦ προσιόντος ὁμοίου ὄντος, τί μὴ καὶ τοῦ ἐνόντος. καὶ ἀμφοῖν ἐπίσης, καὶ οὐ μᾶλλον τοῦ ἀντιλαμβανομένου, ἢ τοῦ ἐπιόντος; ἔπειτα ὡς δοκεῖ αὐτῷ, εἰ τὰ προσιόντα καὶ περιχεόμενα τὸ ζῶον, χύδην ἐπιρρέουσιν, εἰ μὲν ἁπλᾶ εἴη καὶ ὁμοειδῆ τὰ πάντα, πῶς ἔμφασιν τῶν ἐκτὸς πολυειδῆ παρέξουσιν; εἰ δὲ πολυειδῆ, πῶς τῷ ὁμοίῳ τὸ ὅμοιον ἐφαρμόσειεν; ἢ πάντα ἔσται τὸ ζῶον ὅτι πᾶσιν ἐφαρμόζει, ὧν αἰσθάνεται ἐκ προσπαίου.

Ἄλλως τε ἡ ἐφάρμοσις αἴσθησις, ἔστι δὲ ἡ ἐφάρμοσις καὶ τοῖς ἀψύχοις, ἔστιν ἄρα καὶ λίθοις καὶ μετάλλοις καὶ πᾶσι κοινὴ ἡ αἴσθησις καὶ ἐν τίνι διοίσουσι τὰ ζῶα τῶν ἄλλων ἐμψύχων τε καὶ ἀψύχων; καὶ οὐδὲ ἔσται μία ὥς φησιν οὐδὲ τῷ γένει ἡ αἴσθησις, ὅτι πολυειδὴς ἡ ἐφάρμοσις καὶ ἐν διαφόροις τοῖς γένεσιν ἐν τῷ ὁμοίῳ. ὤφειλον οὖν ἑκάτερος περὶ τῶν πόρων καὶ σχῆμα καὶ μέγεθος ἐπακριβῶσαι, ἵνα τὴν εἰσροὴν τῶν ἔξωθεν ἀναπτύξῃ Δημόκριτος, καὶ τὴν ἐφάρμοσιν Ἐμπεδοκλῆς, ἀλλ' οὐδὲν περὶ μεγέθους καὶ σχήματος ὡρίσαντο, πολυσχήμονα καὶ ἀνισομεγέθη τὰ παριστάμενα ταῖς αἰσθήσεσιν εἰδότες. μάλιστα δ' ἐπάναγκες ἦν εἰπεῖν περὶ ἐμφάσεως τῶν κατ' αἴσθησιν, καὶ μὴ ψελλίζειν τὰ ἕωλα ταῦτα τὴν εἰσροὴν, καὶ ἐφάρμοσιν, καὶ δοκεῖν τι περὶ αὐτῶν λέγειν φιλόσοφον. οὓς δὴ ἀγασάμενοι καὶ οἱ νῦν μηχανικοὶ, μηχανικῶς φυσιολογοῦντες, καὶ ἐξ αὐτῶν παραλαβόντες, τὰ κοινὰ

ταῦ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα περιθροῦσιν, ἀλλοίωσιν ἐν τῇ φύσει τῶν σωμάτων, καὶ τὰς πρώτας καὶ οὐσιώδεις στοιχειακὰς ποιότητας δι' ἀλλήλων χωρήσας ἀπειπάμενοι, καὶ μηδὲν ἔχοντες μήτε περὶ αἰσθήσεων, μήτε περὶ ἄλλων φυσικῶν μεταβολῶν ὀρθὸν καὶ ὑγιὲς εἰπεῖν.

## Περὶ Ὁράσεως.

Ὅρασις ἐστὶν ἀλλοίωσις τοῦ ὀπτικοῦ διὰ φωτός. τὸ γὰρ ζωτικὸν πνεῦμα πολυώνυμον γίνεται διά τε τὰς πολλὰς ἐν τῷ ζώῳ ἐνεργείας, καὶ τὰς κατὰ μέρος ποιότητας καὶ διαθέσεις, καὶ ὡς εἰπεῖν δυνάμεις ἐκ τῆς συστάσεως καὶ ποιότητος τῶν ὀργανικῶν μερῶν τοῦ ζώου. ποικίλως γὰρ διατεθειμένων καὶ διαφερόντων αὐτῶν, ἰδιαιτέρας ἐν μέρει προσλαμβάνει προσωνυμίας τὸ πνεῦμα ὀπτικὸν καὶ φανταστικὸν καὶ ὅλως ὀργανικὸν καὶ ζωτικὸν καλούμενον. οὐ γὰρ ἀργεῖ ἡ τοσαύτη κατασκευὴ πρὸς τὰ ἔργα καὶ πάθη τοῦ ζώου. οὐδ' ἄρα τοῦ ὀφθαλμοῦ ἡ θαυμαστὴ καὶ πολυποίκιλος σύνθεσις ἀργεῖ πρὸς ἀλλοίωσιν τοῦ ἐνόντος προσεχῶς πνεύματος, ὅπερ ἰδίως ὀπτικὸν καλοῦμεν, δι' οὗ διοχετεύεται, καὶ διαβαίνει ἡ ὅρασις ἐπὶ τὰ ἐνδότερα. ἀεὶ γὰρ τοῦ δυνάμει προσεχοῦς ἡ μεταβολὴ ταχυτέρα πρὸς τὸ ἐπιὸν εἶδος. δυνάμει δὲ προσεχὲς τὸ ὡς ἔγγιστα διατεθειμένον ἀναλαβεῖν κατὰ φύσιν τι πάθος. ἐνεργεῖ δὲ ἡ ὅρασις διὰ μέσου τοῦ φωτεινοῦ ἀέρος ταυτὸν εἰπεῖν τοῦ φωτὸς, θαυμασιώτερον ἢ αἱ ἄλλαι αἰσθήσεις. πάντα γὰρ ὑποτυποῖ καὶ ἀναδέχεται τὰ εἴδη τῶν ἀντικειμένων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ρων κατὰ σχῆμα, κατὰ μέγεθος, κατὰ θέσιν, κατὰ τὸ συνεχὲς, κατὰ τιμὴν, ὅμοια, ἀνόμοια, ἴσα, ἄνισα, ὁμοῦ, ἅμα χρώματα, καὶ μορφάς. συμμετρεῖ δὲ τὰ συμπαρόντα κατὰ μέγεθος αὐτῷ. συμμετρεῖ δὲ καὶ τὰ διέχοντα κατὰ διάστασιν τὰ ἀπωτέρω ἐλάσσονα τῷ μεγέθει, καὶ ἀνάπαλιν ὑποτυποῦσα διὰ τὴν ὑπαιτιασμένην ὑπ' αὐτῶν ἐνέργειαν. τὰ γὰρ ἐγγύθεν μᾶλλον ὁρᾷ, ἢ τὰ πόῤῥω. αἰτιοῦται οὖν ἡ τοῦ ὀπτικοῦ πνεύματος ἀλλοίωσις ἐκ τῆς ἀναλόγου τῶν ὁρατῶν ἐγγύτητος, καὶ ἐκ τῆς διασκευῆς τοῦ ὀπτικοῦ ὀργάνου εἴτουν ὀφθαλμοῦ. ἡ γὰρ σφοδροτέρα, καὶ πυκνωτέρα δι' αὐτοῦ κίνησις ἐκτυπώτερον ἀλλοιοῖ τὸ πνεῦμα. ἀλλὰ καὶ ἡ τοῦ ζωτικοῦ πνεύματος σύστασις διαφορὰν ἐμποιεῖ, ὥστε ἐν ἄλλοις καὶ ἄλλοις ἀλλοῖα καὶ ἡ ὅρασις καὶ κατὰ πάθος μᾶλλον ἐστὶν ἢ κατ' ἐνέργειαν. διήκει δὲ ἐπὶ πάμμεγα, ὅτι καὶ μέχρις οὐρανοῦ ἀφικνεῖται, ἐφ' ὃν περιαθρεῖ τοσαῦτα φῶτα ὁμοῦ καὶ χωρὶς διὰ τοῦ ἀπ' ἐκείνων φωτὸς ἀλλοιουμένη, μεγάλων ὄντων τῶν ἐκεῖ φωτεινῶν σωμάτων, καὶ τάχιστα κινουμένων. φθάνει γοῦν πρὸς ἡμᾶς ἡ τούτων ἐνέργεια, ἀεὶ ἐπ' εὐθείας ἐκθρώσκουσα. διὸ καὶ ἡ ὅρασις ἐπ' εὐθείας ἀποτείνεται εἰσδεχομένη τὸ φῶς. συννοεῖ μέντοι τῶν πολλῶν τὰς ἐμφάσεις ὡς κέντρον ἐπ' εὐθείας ἀντωποῦσα πρὸς τὰ ὁρατὰ, καὶ συλλαμβάνει ἅμα κύκλωθεν, κατὰ τὰς φωνὰς ἡ ἀκοή· ἀέρος γὰρ καὶ ὕδατος, καὶ φωτὸς ἡ κίνησις, κἂν τὸ κινοῦν ἔχῃ κέντρον, καὶ ἐξ αὐτοῦ ἐπ' εὐθείας ἵεται, ἐκχεῖται ἔμπης εἰς ὕψος καὶ βάθος καὶ περιθέει τὸ κινοῦν. ἢ ὅτι συνεχές ἐστι τὸ κινούμενον,

ἢ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἢ ὅτι δι' ὁμοίων, καὶ ταυτοπαθῶν μορίων ἐπαφῇ, τὴν αὐτὴν ἀναδέχεται κίνησιν. ἐν γὰρ τοῖς τοιούτοις, εἴτι μόριον αἰσθητὸν λόγον ἔχῃ πρὸς τὸ ὅλον, δέχεται ὡς τὸ ὅλον τὴν ἔμφασιν τοῦ ἐντυπουμένου. οἷον κάτοπτρον, καὶ θρύμματα κατόπτρου εἰκόνα ἡλίου, ὥστε μίαν εἶναι διὰ τὴν συνέχειαν, πολλαὶ δὲ διὰ τὴν τομήν. ἡ γοῦν ὅρασις τοῦ συνεχοῦς ἀπτομένη, καὶ τὴν αὐτὴν ὑπαντῶσα κίνησιν ἀπὸ τῶν πέριξ, ταὐτὰ ἀνατυποῖ, ἀλλοίαν δὲ ἀλλοῖα. πάσας δὲ εἰς ἑαυτὴν ἑνοῦσα, λόγον ἀναδέχεται κέντρου. ἑνοῦνται δὲ καὶ διαχέονται αἱ κινήσεις διὰ τὴν προσβολὴν τοῦ φυσικοῦ νόμου τῆς ἀντιπτώσεως. οὕτωτοι διὰ καμπύλης τε καὶ κυρτῆς πυκνοῦνται καὶ συνθέουσιν ἦχοι, καὶ φωναί. οὕτωτοι διὰ καμπύλης τε καὶ κυρτῆς διοπτήρια εὐτονοῦσι τὴν ὅρασιν, καὶ αὐτὴ ἐν ὀφθαλμοῖς αὐτοῖς φύσει εὐσθενεῖ. ταυτοπαθεῖ ἄρα φῶς καὶ ἀὴρ ἀναδεχόμενα τὰς παρὰ τῶν ἄλλων σωμάτων κινήσεις. ὥστε ἄντικρυς λέγεσθαι τὸ φῶς ἐντελέχεια τοῦ ἀέρος. ἐν φωτὶ γὰρ τελειοῦται ὁ ἀὴρ τὸ κάλλιστον εἶδος λαμβάνων ὑπὸ τῶν φωτεινῶν, δυνάμει πρὸς τὸ φῶς προσεχῶς ἔχων, διὸ καὶ τάχιστα κατ' αὐτὸ ἀλλοιοῦται ὑπὸ παντὸς φωτεινοῦ, καὶ σφοδροτέρας κινήσεως. ἡ γὰρ σφοδρὰ καὶ συνεχὴς κίνησις ἀπομιμεῖται τῶν αἰθερίων τὴν κίνησιν, ἥτις εἰς τὸ τέλειον ἄγει τὸ παθητὸν σῶμα ὁλικῶς, καὶ ἕκαστα σώζει, καὶ διατηρεῖ καὶ τελειοποιεῖ κατὰ τὴν αὐτῶν φύσιν, καὶ τὸν ἀέρα φαιδρύνει περικαλλῆ καὶ φωτεινὸν ποιοῦσα, καὶ τοσαύτας ἐμφάσεις καὶ κινήσεις ἐν μέρει ἀναδεχόμενον. οὐ γὰρ ἐκεῖθεν σῶμα κάτεισιν ἐκρέον, ἀλλ' ἐνέργεια



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πλειωτικὴ τῶν κάτω καὶ πρὸς ἡμᾶς. διὸ καὶ σελήνη ἐν φωτὶ ἀμυδρῷ οὖσα ἐκ τοῦ ἡλίου πλειοῦται, αὐτοῦ ἀπωποῦσα, καὶ φῶς σελαγίζουσα. καὶ τὸ ἐντεῦθεν ὑποβεβηκὸς ἅπαν ἐκ τῶν ὑπερκειμένων φωτεινῶν περιαυγεῖ συγκινούμενον. καὶ ἀὴρ ἄρα ὅ,τε ἀποτέρω, καὶ ὁ ἐγγὺς ἡμῖν κατ' ἐνέργειαν ἡλίου καὶ ἀστέρων περιλάμπεται φῶς ἐνδυόμενος. οὐ γὰρ σῶμα οὐράνιον πάθοι αὖ ὅσα φωτὸς πάθη διέγνω τὴν λόγῳ καὶ αἴσθησις. Περὶ τούτων γοῦν καὶ περὶ διασκευῆς καὶ ὀργανώσεως τοῦ ὀφθαλμοῦ, ἐν τοῖς ὀπτικοῖς ἰδίως ὁ λόγος γενέσθω.

## Πόρισμα α'.

Τὰ διαφανῆ ἄρα ὡς συγγενῆ τοῦ ἀέρι, ἐκ συστάσεως γὰρ τοῦ ὑγροῦ ξηρανθέντος, ταυτοπαθοῦσιν αὐτῷ, καὶ τὴν ὅρασιν οὐ παρεμποδίζουσι.

## Πόρισμα β'.

Τὸ ἐπί τινων ἢ λίθων, ἢ σεσηπότων ξύλων, ἢ ὀστέων, ἢ ζώων αὐτῶν ἐπιφαινόμενον φῶς, ἀέρος ἐστὶ παρατριβὴ, καὶ συγκίνησις, ἢ διὰ λειότητα παρολισθαίνοντος, ἢ τῶν ἐν ἐκείνοις ὁμαλῶν μορίων συγκινουμένων, καὶ κινούντων ὁμαλῶς τὸν ἀέρα, μάλιστα ἐν νυκτὶ καὶ αἰθρίᾳ.

Πό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα γ'.

Τὸ ἐξαλλόμενον πῦρ, ἢ φῶς αὐτὸ ἐκ σφοδρᾶς προσβολῆς, καὶ παρατριβῆς τῶν σωμάτων, ἀήρ ἐστιν ἀλλοιωθεὶς· ἢ ὁ ἔνδον ἐν τῇ συστάσει αὐτῶν ἐκθρώσκων πυρωθεὶς, ἢ ὁ ἐκτὸς καὶ ἁπτόμενος τῶν συγκινουμένων μεταβληθείς. πρωτοπαθεῖ γὰρ ὁ ἀὴρ ἐν πάσῃ τῶν πυρακτωμένων καὶ ἐξαπτομένων μεταβολῇ, καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ πρῶτον πᾶσα θέρμανσις, ἔξαψις, καὶ πύρωσις, καὶ φῶς ἐν τοῖς κάτω σώμασι. πᾶσα γὰρ κίνησις συνεχὴς καὶ ὁμαλὴ ἐπὶ τὸ πλεῖον ἄγει τὸν ἀέρα, ὅπερ ἐστὶ πῦρ καὶ φῶς γενέσθαι.

## Πόρισμα δ'.

Οὐ μόνον τῶν ξηρῶν προστριβομένων καὶ συνθλιβομένων, καὶ συγκρουομένων, ἀλλὰ καὶ τῶν ὑγρῶν προσεπαρασσόντων ἀλλήλοις ὁ συγκλειόμενος ἐξάπτεται ἀήρ. καὶ κυμάτων ἄρα ἐν θαλάττῃ ἀλλήλοις ἐπικυμαινόντων, καὶ συῤῥηγνυμένων τὸ δοκοῦν ἐξάλλεσθαι φῶς, ἀήρ ἐστι συχεθεὶς, καὶ σφοδρότερον κινηθείς. ὁμοίως δὲ καὶ ἐν τῇ ἀτμοσφαίρᾳ πολλάκις τὰ ὁρώμενα φῶτα. ἐὰν δὲ ὁ οὕτως ἐξαφθεὶς ἀὴρ ὕλης ξηροτέρας ἐξ ἀναθυμιάσεως προσλάβῃ, πυρὰ χωνίζοντα ὁρῶνται, κατὰ τὰ εἰρημένα ἐν τῷ πρώτῳ Βιβλίῳ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα έ.

Τὰ χρώματα ἄρα ἀέρος φωτεινοῦ τρόποι καὶ κινήσεις, καὶ ὅλως ἀλλοιώσεις εἰσιν. ὁ γὰρ ἀὴρ καθ' ἑαυτὸν μὲν ἀχρωμάτιστός ἐστι. προσχὼν ἐκ τῶν φωτιστικῶν τὸ τέλειον εἶδος, καὶ μηδαμῶς ἐξιστάμενος τῆς τελείας ταύτης ἕξεως, εἴτουν τοῦ φωτὸς, σχηματίζει τὰ χρώματα. κατὰ μόριον ἑαυτοῦ ἁπτόμενος τῶν ἄλλων σωμάτων ἧττον καὶ μᾶλλον ἅπτεται, καὶ ἄλλων ἄλλως, καὶ ὁμαλὸς ὢν, διὰ τὴν ἀλλοίαν ἐπαφὴν ἀλλοίως κινεῖται, καὶ ἀλλοίως διατίθησι τὴν ὅρασιν, τὴν μεταβολὴν φέρων κατὰ πρωτοπάθειαν ἐκ τῆς ἐπιφανείας καὶ μορφῆς τῶν ὁρατῶν. διὸ καὶ ὥρισται τὸ χρῶμα τῶν σωμάτων, κατὰ τὸ πέρας τοῦ περιέχοντος ἀέρος, ὅτι ἐκεῖθεν λαμβάνει ὁ ἀὴρ τὴν ποιὰν ἀλλοίωσιν καὶ κίνησιν, θολούμενος κατ' ἐπιμιξίαν σκιῶν καὶ ὕφεσιν κινήσεως, ἢ δι' ἀντίφραξιν ἑτεροφυῶν, καὶ θέσιν καὶ σχῆμα τῶν ἀνωμάλων μορίων. οἱ γοῦν μηχανικοὶ φυσιολόγοι πειρώμενοι ἐκ τοῦ φωτὸς ἐξάγειν τὰ χρώματα, θολοῦσι μᾶλλον ἢ ἀναλύουσι τὸ φῶς, ἀπὸ τοῦ τελείου εἴδους ἐπὶ τὴν στέρησιν κατιόντες. οἷς γὰρ πειρῶνται διὰ πρισματικῶν ὑέλων ἀγαγεῖν τὴν ἀνάλυσιν, μιγνύουσι τῆς διακλάσεως τὰς διαφόρους σκιὰς τὰς ἐκ τῆς ὑέλου τῷ φωτί. παρόμοιον γάρ τι γίγνεται καὶ ἐκ τῶν ἄλλων σωμάτων τῶν διαφερόντων τοῖς χρώμασι, διὰ διάθεσιν καὶ σχῆμα, καὶ ἀνωμαλίαν τῶν συνιστώντων μορίων ἀλλοίως ὁρωμένων. καλῶς οὖν λέγεται, ὅτι

ἐν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐν τοῖς σώμασι τὰ χρώματα. ἐκ τούτων γὰρ ἡ κατὰ τὰ χρώματα ἀλλοίωσις τοῦ φωτεινοῦ ἀέρος καὶ τῆς ὁράσεως, καὶ ἔστιν ἄρα ἐν τῷ φωτὶ καὶ διὰ τοῦ φωτὸς ὁρᾶται τὰ χρώματα. καὶ λόγον ἔχει ἕξεως πρὸς τέλειον εἶδος τὸ φῶς, καὶ τῇ φύσει ὥρισται καὶ συντέτακται. καὶ τούτων τὰς σχέσεις ἀναζητεῖν ἧττον φιλόσοφον, ἐξάγειν δὲ ἐκ φωτὸς, καὶ κενοφωνεῖν ἀνάλυσιν καὶ σύνθεσιν φωτὸς, γελοῖον ἂν εἴη.

## ΣΧΟΛΙΟΝ.

Πλάτων καὶ μετ' αὐτὸν πολλοὶ ἄλλοι τῷ ὁμοίῳ τὸ ὅμοιον ἐπαισθάνεσθαι οἰόμενοι, τὴν ὅρασιν κατὰ συναύγειαν, εἴτουν ἐν τῇ ἑνώσει τοῦ ἔνδοθεν καὶ ἔξωθεν φωτὸς ὡρίσαντο. ἐκρέει γὰρ ἐκ τῶν ὀφθαλμῶν φασὶ φῶς, ὅπερ εἰ φῶς συναντήσει, ἐπαύξει, καὶ ὅλως φῶς τὸ πνεῦμα γίνεται. ἀλλὰ τὸ μὲν ἐξωτερικὸν φῶς, ὅθεν ἔχει τὰς ἀρχὰς, καὶ τίνα τούτου τὰ πάθη, καὶ τὰ ἀποτελέσματα οἴδαμεν, τὸ δὲ ἐσωτερικὸν παρ' αὐτοῖς φῶς, εἰ μὲν αἰθέριον ἐστι, πότε καὶ πῶς κάτεισιν ἐν τοῖς ζώοις ἰδίως, αὐτοὶ ἂν εἰδοῖεν. εἰ δὲ πρόσυλον, οὐχ ὅμοιον ἔσται τῷ ἔξωθεν ἐπιόντι φωτί. ὥστε οὐχ ὁμοίῳ τὸ ὅμοιον ὁρᾶται, κατὰ τὴν σφῶν ὑπόθεσιν, οὐδὲ συναύγεια καὶ ἕνωσις φώτων ἡ ὅρασις. πῇ δὲ καὶ ἡ δοκοῦσα ἕνωσις τῶν φώτων γίνεται, ἐντὸς, ἢ ἐκτὸς τῶν ὀφθαλμῶν; εἰ μὲν γὰρ ἐντὸς, οὐκ ἐκρέει τὸ ἔνδον φῶς ἔξω, εἰ δὲ ἐντὸς οὐκ εἰσδύει τὸ ἔξωθεν ἔνδον, καὶ αὖθις ἑτεροειδῆ τὰ φῶ-

τα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τα, καὶ ἐ συναύγεια ἡ ὅρασις. εἰ δ' ἀδιαφόρως καὶ ἐντὸς καὶ ἐκτὸς πῶς ἐ παραλλάσσει ἡ ὅρασις τῶν ἀρχῶν ἢ ὅρων μετατιθεμένων; ἔπειτα εἰ ἐκρέει ἔνδοθεν πρὸς τὸ ἔξω φῶς ἐξ ὀφθαλμῶν, πῶς τῶν ἔγγιςα ἐχ ἅπτεται μὴ παρόντος ἔξωθεν φωτός. ὤφειλεν ἂν δι' ἰδίε φωτὸς τὰ ἐγγὺς ἐν νυκτὶ ὁρᾷν ἕκαςος. οὐκ ἄρα ἐκροὴ φωτὸς ἐν τῷ ὁρᾷν, ἀλλ' εἰσροὴ φωτὸς καὶ ἀλλοίωσις τῦ ἐν τοῖς ὀφθαλμοῖς τῶν ζώων ὀπτικῦ πνεύματος. τὸ δὲ ὀπτικὸν τουτὶ πνεῦμα γίνεται φῶς, τάχιστα ἀλλοιέμενον, ὅτι προσεχές ἐστι τῷ φωτί. δυνάμει μέντοι οὐκ ἐνεργείᾳ φῶς, ὥσπερ καὶ ὁ ἀήρ. πᾶν δὲ τὸ δυνάμει προσεχές τινι, τάχιςα κατ' ἐκεῖνο ἀλλοιῦται, κἀκείνε τὸ εἶδος λαμβάνει. τοίνυν εἰ τὸ ἐν τοῖς ζώοις ὀπτικὸν πνεῦμα οὐκ ἔστι φῶς ἐνεργείᾳ, γίνεται δὲ ἐπενεργοῦντος τοῦ ἔξωθεν φωτὸς, οὐκ ἔστιν ἡ ὅρασις κατὰ συναύγειαν, ἀλλὰ κατὰ ἀλλοίωσιν τοῦ ὀπτικῦ πνεύματος ὑπὸ τοῦ ἔξωθεν φωτὸς, καθ' ἣν αὐτό τε τὸ φῶς, καὶ τὰ ἐν τῷ φωτὶ χρώματα καὶ μορφὰς τῶν σωμάτων ὁρᾷ, ὡς εἴρηται.

## Περὶ Φαντασίας.

Ἔςι δὲ ἡ φαντασία ταμιεῖον τῶν αἰσθημάτων ἐν τῷ ἐγκεφάλῳ, τῶν διὰ τῦ ἀλλοιεμένου ἔξωθεν πνεύματος ἐν τοῖς αἰσθητικοῖς ὀργάνοις, καὶ διοχετευομένε, καὶ ἐγκολάπτοντος τὰ εἴδη τῶν αἰσθητῶν ἐπ' αὐτόν. αἱ γὰρ αἰσθήσεις δι' ἀφῆς καὶ κινήσεως τῦ μέσε ἀλλοιε-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένης ἐκ τῆς αἰσθητῆς, καὶ ἀλλοιοῦντος τὸ ἐν τοῖς ζώοις πνεῦμα ἐπὶ τὴν φαντασίαν συμμετοιοῦται διατυπούμεναι. ῥᾷον γὰρ τὸ πνεῦμα συγκινεῖται κινουμένου τοῦ μέσου, καὶ τῶν ἐκτὸς ἀπολαμβάνει ποιότητας, καὶ κατ' αὐτὰς ἀλλοιοῦται, μάλιστα ἐπὶ τῆς ὁράσεως. ὁ γὰρ φεραυγὴς ἀὴρ ξοπιζόμενος ἄλλως καὶ ἄλλως, τὰ μὲν χρώματα πρὸς τὴν τελείαν ἕξιν τοῦ φωτὸς ὑποβάλλει, ὡς ἔχει ἕκαστον. διὰ δὲ τῶν χρωμάτων καὶ σχήματα καὶ θέσεις τῶν σωμάτων, καὶ διαστάσεις αὐτῶν καὶ ἀποστάσεις ὑποδεικνύει, καὶ διὰ τοῦ φωτὸς ἐν τοῖς αἰσθητηρίοις φέρων, ἐπὶ τὴν φαντασίαν προάγει, καὶ διατυποῖ ἐκ τῶν φαινομένων. ἐπεὶ γὰρ ὁ ἀὴρ ἁπτόμενος τοῦ ἀντικειμένου τῇ ὁράσει, κατά τι σημεῖον φυσικῶς ἅπτεται, ἐξ ἐκείνου, ὡς ἀπὸ κέντρου ἐπ' εὐθείας ἀλλοιοῦται, ἤτοι κινούμενος, ἢ ἄλλως πως διατιθέμενος. πέφυκεν ἄρα κυκλικῶς μὲν, ἀλλ' ἐπ' εὐθείας πρὸς τὴν ὅρασιν δρᾶν ἀλλοιούμενος ἤτοι συνεχῶς, ἢ ἐν μέρει. καλῶ δὲ μέρη τὰ ἐκτὸς τοῦ ὁρατοῦ, περὶ αὐτὸ σημεῖα. οὐ γάρ ἐστιν ἁφὴ ἐν τοῖς ἀδιαιρέτοις. οὕτως οὖν ἐπ' εὐθείας διαβιβάζων πᾶσαν κίνησιν καὶ μεταβολὴν ὁ ἀὴρ ἀπὸ τοῦ ὁρατοῦ ἐπὶ τὴν ὅρασιν τὰ ἐν αὐτοῖς ἡνωμένα καὶ διακεκριμένα κατὰ τὰ ἀντικείμενα διατυποῖ καὶ παρίσταται διὰ τοῦ φωτὸς τῇ αἰσθήσει, καὶ διὰ τῆς αἰσθήσεως ἀνάγει ἐπὶ τὴν φαντασίαν, ὑπουργοῦντος τοῦ ζωτικοῦ πνεύματος. οὕτως παντοίαν πληγὴν ἐπὶ τὴν ἀκοὴν διαβιβάζει πληττόμενος ὁ ἀήρ. οὕτως δὴ παντοίαν ἀλλοίωσιν ἐπὶ τὴν ὄσφρησιν ἀλλοιούμενος. οὕτως ἴσως ὁ

αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸς ὑπεργεῖ καὶ ἐπὶ τῆς ἀφῆς καὶ γεύσεως, ἐγγύθεν συμπράττων καὶ ἀναδεχόμενος, καὶ διαπέμπων ἐπὶ τὸ πνεῦμα τὴν ἀλλοίωσιν τῶν κατ' αὐτὰς αἰσθημάτων, εἰ καὶ τὰ αἰσθητὰ δι' ἰδίων μέσων δοκοῦσιν ἐξιδιάζειν τὰς ἀλλοιώσεις ἐπὶ τὸ ζωτικὸν πνεῦμα καὶ δι' αὐτοῦ ἐντυποῦσιν ἐπὶ τὸν ἐγκέφαλον τὰς φαντασίας. ἀλλ' ἐπὶ μὲν τῶν μέσων ἡ ἀλλοίωσις διϊοῦσα, τάχιστα ἀπολύεται. ἀπειρίξεπτα γὰρ, καὶ πάθος οὐ δοκεῖ στέγειν. ἐπὶ δὲ τῶν αἰσθήσεων πάθος τι ἐντίκτει τῷ ἐγκεφάλῳ προσεχῶς διὰ τοῦ ζωτικοῦ πνεύματος, πορρωτέρω δὲ ἐκ τῶν αἰσθητῶν πολυειδῶς ἐγκολαπτόμενον, ὅ ἐστιν εἶδος ὅμοιον τῷ αἰτίῳ, ἀφ' οὗ πρόεισιν ἡ ἀλλοίωσις. τὸ δὲ πάθος τοῖς συνθέτοις εἰσδύον ἐμφωλεύειν πέφυκε, διὰ τὴν ἀντενέργειαν τῶν στοιχείων ἐν αὐτοῖς, περὶ ταῦτα στρεφόμενον καὶ ἐμμένον. ἐντεῦθεν ἄρα καὶ συναισθήσεις καὶ φαντασίαι καὶ μνῆμαι τῶν κατὰ φυσικὴν ἕνωσιν ἢ συγκυρίαν συναισθανομένων. ὡς γὰρ κατὰ πρόσληψιν συνῆλθον ἐπὶ τὴν φαντασίαν διὰ τῆς αἰσθήσεως, οὕτως αὖθις ἐξ ἀφορμῆς τινος τῶν ἐκτὸς, ἢ καὶ ἐντὸς διὰ συῤῥοῆς ταυτοπαθοῦντος τοῦ πνεύματος ἐξανίστανται. ἐξαίσιος γὰρ ἡ εἰς βάθος διασκευὴ τοῦ ἐγκεφάλου ἐν μυρίοις κύκλοις καὶ κύκλων σφαιρώμασι συνιςαμένη, πλήρης λεπτοτάτων πνευμάτων ἐν διαυγεςάτοις καὶ καθαρωτάτοις χυμοῖς συμπαγεῖσα, ἀγνεύουσα τῆς ἐμβριθοῦς ὕλης, ὡς ἐκτὸς καὶ κύκλῳ πᾶσαν γεηρὰν καὶ ἀντίτυπον ὕλην ἀποπτύσασα. ἵνα δὲ καὶ πᾶν τὸ ὑποβεβηκὸς φέρῃ, καὶ συγκινῇ μεθ' ἑαυτῆς, ἐφαπλώσασα πρὸς ἐφ' ἅπαν

τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ σῶμα, καὶ περιλαβοῦσα τό, τε ὅλον καὶ τὰ μέρη αὐτοῦ διὰ δικτυωτοῦ νευρώδους χιτῶνος ὑπουργικῶς ἄγει πρός τε ζωὴν, καὶ τὴν κατ' αὐτὴν ἐνέργειαν τὸ ζῶον. τὸ γὰρ ζωτικὸν πνεῦμα πολλαχῶς τροπιζόμενον, καὶ ἐν τοῖς μέρεσι τοῦ ζώου. νασμὸς γάρ ἐστι τῆς τε τοῦ ὅλου ἰδιοκρασίας, καὶ ἀφ' ἑκάστου τῶν μορίων τοῦ ὅλου, πολύτροπον καὶ τὴν ἀλλοίωσιν, καὶ ἀναδέχεται, καὶ ἐμποιεῖ κατά τε τὰς αἰσθήσεις καὶ φαντασίας ἐν τῷ ἐγκεφάλῳ, διατυπωμένων καὶ ἑνωμένων ἅμα καὶ διακρινομένων τῶν αἰσθημάτων ἐν αὐτῷ. πολυμερὴς γὰρ ὢν ὁ ἐγκέφαλος τῇ διαφόρῳ περιελίξει, καὶ τομῇ, καὶ συμπτύξει ἑνίζει, καὶ διακρίνει, διαδεχόμενος ἅμα καὶ μερίζων, τὰς διαφόρως προσγιγνομένας ἔξωθεν διὰ τῶν ὀργάνων ἀλλοιώσεις. πρὸς τί γὰρ ἄλλο ἡ τοσαύτη ἐν αὐτοῖς πληθὺς τῶν σφαιροειδίων, καὶ ἡ τῶν βολβῶν διαστολὴ, καὶ τῶν ὑπολοίπων θρόμβων ἡ σύστασις, καὶ ἐπὶ πᾶσιν ἡ δοκοῦσα ἐξαίσιος ποικιλία ἐν συμφυΐᾳ; ἵνα γοῦν ἐν μέρει δέχεται τὰ ἀφ' ἑκάστης αἰσθήσεως, καὶ διατυποῖ διακριδὸν τὰ ἐκ τῶν αὐτῶν, ἢ καὶ ἑτέρων ἄλλως καὶ ἄλλως ἐπ' αὐτὸν διαβαίνοντα, μεμέρισται ἐξαισίως, καὶ εἷς ὢν πεπλήθυνται, καὶ κινήσεων καὶ αἰσθήσεων ἀρχὴ καὶ πέρας, καὶ ὅλως εἰπεῖν ψυχῆς τῶν ζώντων ἕδρα ὑπῆρξε, διὰ τοῦ διαυγεστάτου πνεύματος τὴν ζωτικὴν αὔραν τοῖς ζώοις διανέμων καὶ συγκινῶν. ἐξ αὐτοῦ γοῦν ἥτε γένεσις καὶ διαπλοκὴ ἁπάσης τῆς δικτυώδους νευρητικῆς διασκευῆς τῶν μυρίων μορίων τοῦ ζώου, μειζόνων, καὶ ἐλαττόνων καὶ μικροῦ δεῖν ἀόπτων. ἐξ αὐτοῦ δὴ αἱ ὀργανικαὶ κι-

νή-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νήσεις διὰ τοῦ πνεύματος. ἐξ αὐτοῦ αἱ ὁμόχρονοι ἀλλοιώσεις ἐν τοῖς διέχουσι μορίοις τοῦ ζώου κατὰ συμπάθειαν δι' ὁμοιότητα, ἢ ἀντιπάθειαν δι' ἀνομοιότητα πρὸς τὰ αἰσθητὰ, τῆς φαντασίας ἀλλοιούσης τὰ συμπαθῆ, καὶ ἀντιπαθῆ, ἀλλοιουμένου τοῦ πνεύματος. ἔστι γὰρ ἐν τῇ διασκευῇ τῶν μορίων τοῦ ζώου ἰδιοκρασία στοιχειώδης, καθ' ἣν ἕκαστον διαφόρως ἀλλοιοῦται ὑπὸ τῶν διαφόρων ἀλλοιώσεων δηλονότι τῆς φαντασίας καὶ αἰσθήσεως. ἐντεῦθεν ἄρα καὶ ῥοπαὶ καὶ κινήσεις καθ' ὁρμὴν, καὶ πάθη τῶν ζώων, καὶ σύμπασα παρὰ τὴν φυσικὴν ζωὴν ἡ ἐνέργεια, προσεχῶς μὲν διὰ τοῦ ζωτικοῦ πνεύματος ἀλλοιούμενα ἀλλοιοῦντος πορρωτέρω δὲ ἐκ τῶν αἰσθητῶν.

Διαφέρει δὲ αἴσθησις φαντασίας, ὅτι ἡ μὲν ἔξωθεν ἔχει τὴν ἀρχὴν τῆς ἀλλοιώσεως ἐν τῷ πνεύματι, ἡ δὲ ἔνδοθεν· καὶ ἡ μὲν ἐρχομένη ἐκ τῶν αἰσθητῶν προηγεῖται, ἡ δὲ ἐξ αὐτῆς ἐπιγίνεται. οὐδὲ γὰρ αἰσθήσεως προηγησαμένης φαντασία οὐ κἂν γένοιτο, ὑπόλειμμα οὖσα αἰσθήσεως, καθάπερ καὶ ἡ μνήμη ἕξις οὖσα ἔμμονος τῶν ὁμοίων ἐν τῷ πνεύματι ἀλλοιώσεων.

## Περὶ Μνήμης.

Καὶ γὰρ ἡ μνήμη ὑπόλειμμα ἐστὶ φαντασίας ἐν μέρει τοῦ ἐγκεφάλου, εἴτουν διάθεσις κατὰ προηγησαμένην φαντασίαν ὑπομένουσα ἐν τῷ ἐγκεφάλῳ. ἀεὶ γοῦν συνῆπται τῇ φαντασίᾳ τινὶ καθ' ἣν καὶ ἐγείρεται,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΑ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ϰ̀ ἀνατυποῖ τὴν αἴσθησιν, ἀλλοιωθέντος τοῦ πνεύματος, ἢ ἐξ ἀφορμῆς τῶν ἔξωθεν, ἢ συῤῥοῆς τῶν ἔνδοθεν μορίων τοῦ ζώου συγκινουμένων. πέφυκε γὰρ ϰ̀ τὰ μέλη τοῦ ζώου δρᾷν ἔνδοθεν πρὸς ἀλλοίωσιν τοῦ πνεύματος, ϰ̀ κινεῖ κινούμενα τὴν φαντασίαν, ὡς ϰ̀ κινεῖται ὑπ' αὐτῆς ἀλλοιούμενα, ἄλλης ἄλλο μέρος συγκινούσης πρὸς ἰδιαιτέραν ἐνέργειαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΗΣ

## Πόρισμα α'.

Πᾶσα οὖν ὁρμὴ ἐν τοῖς ἀλόγοις ζώοις ἑτεροκίνητος. ἢ γὰρ ἐξ αἰσθήσεως, ἢ ἐκ φαντασίας καὶ μνήμης κατ' αὐτὴν κινεῖται τὰ ἄλογα ζῶα. αἳ δέ εἰσιν ἐξ ἀλλοιώσεως τοῦ ζωτικοῦ πνεύματος.

## Πόρισμα β'.

Καὶ αἱ δοκοῦσαι ἑκούσιοι κινήσεις τῶν ἀλόγων ζώων, ὡς ἔχουσαι ἔνδοθεν τὴν ἀρχὴν, κυρίως οὐκ εἰσὶν ἑκούσιοι, ὅτι οὐχ ἁπλῶς ἐξ ἑαυτῶν ἐν αὐτοῖς εἰσιν.

## Πόρισμα γ'.

Ἐξιδιάζουσιν ἄρα καί τινα μόρια ἐν τοῖς ζώοις τὰς ἐμπαθεῖς κινήσεις δι' ἰδιοτροπίαν τοῦ ζωτικοῦ κατ' αὐτὰ πνεύματος. διὸ οὐ μόνον ἔξωθεν διὰ τῶν αἰσθήσεων συγκινοῦνται, ἀλλοιούμενα κατ' αἴσθησιν ἰδιοτρόπως, ἀλλὰ ϰ̀ ἔνδοθεν συγκινοῦσι τὰς φαντασίας καὶ μνήμας δι' ἀλλοιώσεων τοῦ ζωτικοῦ πνεύματος.

ΚΕ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Δ'.

### Περὶ πράξεων τῶν ἀλόγων ζώων.

Τῶν μὲν ἀψύχων ἡ σύστασις καὶ διαμονὴ καὶ συνύπαρξις, ἐνέργειαί τε καὶ ἀντενέργειαι, δράσεις τε καὶ πείσεις, ἑνώσεις τε καὶ διαστάσεις ἐκ τῶν στοιχειακῶν ἤρτηνται πρώτων ποιοτήτων καὶ δυνάμεων, καὶ τῆς κατ' εἶδος ἑκάστῳ συνδρομῆς καὶ ἑνώσεως κατ' οὐσιώδη εἰδικὴν ἀναλογίαν, ἴδιαι εἰσὶν, ἐξ ὧν καὶ ἡ προσθήκη, ἥτις ἐστὶν ἡ τροφὴ, κατ' ἐπαφὴν καὶ αὔξησιν τῇ ὁλκῇ καὶ προσφύσει συνδεδεμένη προσγίνεται. τοῖς δὲ ἐμψύχοις, οἷον φυτοῖς ἱσταμένοις ἐκ τούτων καὶ δι' αὐτῶν ἥτε διάρκεια καὶ μονὴ καὶ τροφὴ καὶ αὔξησις, ἑτέρῳ δὲ τρόπῳ, διὰ τοῦ διϊόντος πνεύματος οἰκονομεῖται, ἐν τῇ αὐτῇ ἕδρα καὶ ῥιζώμασιν ἱσταμένοις καὶ ἐνιδρυμένοις. τοῖς δὲ ζώοις μεταβατικοῖς οὖσιν, αἱ αἰσθήσεις ἐπ' αὐτοῖς ἀναγκαῖαι. οὐ γὰρ ἄλλως ζῆν καὶ γεννᾷν ὅμοιον εἶχον. ἐνῆκε γοῦν ἡ φύσις ἐν τούτοις τὰς αἰσθήσεις καὶ φαντασίας καὶ μνήμας, δι' ὧν τὰ μὲν πρόσφορα καὶ οἰκεῖα αἱρεῖται, ἐκκλίνει δὲ καὶ φεύγει τὰ ἀλλότρια καὶ λυμαντικὰ, ὥστε τοῦ ἰδίου τέλους τυγχάνειν. τέλος γὰρ τῆς φύσεως τηρεῖν δὴ τὰ εἴδη ἐν τοῖς καθ' ἕκαστα σωζομένοις. φύσιν δὲ κἀνταῦθα καλῶ τήν τε κοινὴν, καὶ ἰδίαν ἑκάστῳ εἴδει συνδρομὴν καὶ οὐσιώδη ἕνωσιν τῶν στοιχείων κατὰ διάφορον ἁρμονίαν, δι' ἧς αἵ τε ἐσωτερικαὶ κινήσεις καὶ δυνάμεις,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ δράσεις καὶ πείσεις ἐν τοῖς καθ᾽ ἕκαστα καθ᾽ αὑτά, καὶ αἱ πρὸς τὰς ἔξωθεν ἀλλοιώσεις τε καὶ περιπαθήσεις καὶ μεταβολαί. κοινωνία γὰρ διόλου ἐστὶν ἐν τῷ παντί, καὶ εἰ κατ᾽ εἶδος διέστηκεν ἀλλήλων τὰ σώματα, δρῶντα μέντοι ἢ πάσχοντα ἥνωται. ὅθεν καὶ συνεργεῖν τὰ πολλὰ κατὰ φύσιν, καὶ φύσει συνεῖναι καὶ ἐμμένειν δοκεῖ καὶ λέγεται, κἂν ἄλλως καὶ ἄλλως τροπίζεται, καὶ οὐ τῶν αὐτῶν ἐπίσης μετέχει, ἀλλ᾽ ὅσων ἀνήκει τῇ τῶν καθ᾽ ἕκαστα συνυπάρξει, καὶ τῇ κατ᾽ εἶδος διαδοχῇ πρὸς τὸ εἶναι αὐτά. αὐτίκα γὰρ ἐν τοῖς ζώοις εἰπεῖν, τὰ μὲν ὀσφρήσεως ἀμοιροῦσι, τὰ δὲ καὶ ἀκοῆς, τινὰ δὲ καὶ ὁράσεως. μόνα δὲ τὰ ἀρτιμελῆ τὰς πέντε αἰσθήσεις πλουτοῦσιν ἵνα τὰς ὠφελείας κατὰ τὴν σφῶν αὐτῶν φύσιν πλείονας ἀπολαύωσι, καὶ θᾶττον τὴν ἐκ τῶν λυμαινόντων βλάβην ἀποτρέπωνται. ἡ μὲν οὖν ἁφὴ καὶ γεῦσις πρὸς τὸ συλλαμβάνειν καὶ δέχεσθαι τὰ πρόσφορα πρὸς τροφὴν καὶ θάλψιν ἐμπέφυκε κοινὴ πᾶσι τοῖς ζώοις. ὄσφρησις δὲ τὸ προσεχές, ἢ πόῤῥω τρόφιμον ἐπικρίνει. (μόνῳ γὰρ τῷ ἀνθρώπῳ καὶ πρὸς ῥῶσιν καὶ ὑγιείαν συντελεῖ). ἀκοὴ δὲ καὶ ὅρασις, τό, τε ἐγγὺς καὶ τὸ πόῤῥω ὀνήσιμον ἐπιδιώκειν, καὶ φεύγειν τὸ ἐπιβλαβὲς προσετέθη. πάσας οὖν τὰς ποιότητας τῶν σωμάτων συνέχει συλλαβοῦσα ἡ πεντὰς τῶν αἰσθήσεων, ὥστε πλειόνως οὐ δεῖται τὰ ζῶα σώζειν ἑαυτά, καὶ γεννᾷν ὅμοιον, εἰ μὴ τῶν ἐξ αἰσθήσεων ὑπολειμμάτων φαντασίας καὶ μνήμης καὶ ἐπιθυμίας, ἐξ ὧν αἱ ῥοπαὶ αὐτῶν καὶ κινήσεις ἔνδοθεν καὶ αἱ ἐνέργειαι πρός

τε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τε, τὸ εἶναι καὶ ζῆν, καὶ γεννᾶν ὅμοιον. πάντα γὰρ τὰ ἔργα αὐτῶν πρὸς ταῦτα τείνει. ἤτοι γὰρ τροφῆς, ἢ γονῆς ἕνεκα, εἴτ᾽ οὖν διαδοχῆς ἐξεργάζονται. ἐρῶσι γὰρ πάντα τοῦ εἶναι, καὶ ὡς ἔχουσι, τούτου μετέχουσι, κατὰ νόμον ὑπὸ τοῦ Δημιουργοῦ συνέχοντα ὑπορρέουσαν τὴν φύσιν, ἐξ οὗ ἕπεται δὴ συντηρεῖν ἑαυτὰ, ἐκκλίνειν καὶ φεύγειν τὰ λυμαντικὰ, ἀπωθεῖν τὰ ἐνοχλοῦντα, μάχεσθαι τοῖς ἐναντίοις, ὡς πολεμίοις, σώζειν τὰ ἴδια, συμπονεῖν καὶ συναγωνιᾶν τοῖς ὁμοφύλοις, ἐρᾶν τροφῆς καὶ ταύτην μεταλλᾶν καὶ διώκειν, καὶ ὑπὲρ αὐτῆς κοπιᾶν, προσκολλᾶσθαι τοῖς ὁμοιοειδέσι γονῆς χάριν, καὶ συμπράττειν τὰ ζῶα, καὶ περιθάλπειν τὰ σφῶν τέκνα. ἀλλ᾽ ἐν τούτοις εἰ καὶ ποικίλαι καὶ παντοδαπαὶ αἱ ἐνέργειαι αὐτῶν, ἐξημμέναι ἔμπης εἰσὶν ἅπασαι αἰσθήσεων καὶ φαντασίας καὶ μνήμης καὶ τῆς ἐκ τούτων ἐσωτερικῆς συγκινήσεως τῶν ὀργανικῶν καὶ φυσικῶν μορίων, διὸ καὶ ἑτεροκίνητοι εἰσιν ἐν τοῖς ἀλόγοις, ὡς μὴ ἔνδον ἐν αὐτοῖς ἀρχὴν ἔχουσαι ἀπόλυτον καὶ κυρίως αὐθόρμητον.

## Περὶ Ἀναπνοῆς τῶν ζώων.

Ἔνεστιν ἡ ἀναπνοὴ ἐν τοῖς ζώοις ἐκ διαστολῆς καὶ συστολῆς τοῦ πνεύμονος, οἷς τοῦτο τὸ ὄργανον ἐμπέφυκε. ἄλλοις δὲ οἷον ἰχθῦσι ἐκ τῆς τῶν βραγχίων πτερυγίσεως συμπιλαμβανομένου καὶ τοῦ ὕδατος εἰς τὴν εἴσροιαν τοῦ ἀέρος, καὶ ἄλλοις τυχὸν ἄλλως. ἔργον γὰρ τῆς ἀναπνοῆς τὸν ἔξωθεν προσλαμβάνειν ἀέρα πρὸς

ἀρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀρδείαν καὶ ἰσωπελκίαν τῶν χυμῶν κίνησιν ἐν τοῖς ζώοις. διὸ καὶ τὰ ὄργανα διάφορα κατὰ τὴν χρείαν ἑκάστου εἴδους. συντελεῖ οὖν ἐν τῇ ἀναπνοῇ ἥτε διασολὴ καὶ ὁλκὴ τῶν ἀναπνευστικῶν ἀγγείων ὡς ἐκ τοῦ πνέοντος, καὶ ἡ ἐλασικότης καὶ βαρύτης τοῦ ἀέρος, καὶ γέμει θαύματος ἡ πολύτροπος μηχανή, καὶ ἡ λεπτότης ἐν ἐνίοις τοῦ εἰσδύοντος ἀέρος. εἰ δὲ καί τισιν οὐχ ὁρῶνται τὰ σκεύη, ἔνεσι μέντοι ἐν αὐτοῖς τὰ ἀνάλογα, δι' ὧν δίεισιν ἐμπνεόμενος ὁ ἀὴρ, ἄρδων καὶ συγκινῶν τὰ ἐντὸς τοῦ ζώου. εἰ γὰρ ἐν τοῖς φυτοῖς ἀδιαλείπτως εἰσιὼν θάλλειν καὶ αὔξεσθαι ποιεῖ ταῦτα τρεφόμενα, πολλῷ μᾶλλον ἀναγκαῖος τοῖς ζῶσιν, ἐν οἷς πλείους αἱ τῶν μορίων περιελίξεις καὶ περιπλοκαί, καὶ αἱ κινήσεις πυκναὶ καὶ ἐνδελεχεῖς, καὶ ἰδιότροποι, ἐπιδεόμεναι καὶ τῆς ἔξωθεν ἐπικουρίας εἰς ὁλικὴν ἐνέργειαν εἴτ' οὖν ζωὴν τοῦ συνθέτου. ἢ πόθεν ἄλλοθεν καὶ πέψις τῶν προσφερομένων, καὶ ἄπωσις καὶ διαφόρησις, καὶ ὅλως ἔκκρισις τῶν περιττῶν ἐπιβοηθεῖεν, μὴ διϊόντος τοῦ ἀέρος εἰς βάθος τοῦ ζώου, καὶ τὰς ἐν αὐτῷ φυσικὰς κινήσεις συνεχίζοντος; διὸ καὶ τῆς ἀναπνοῆς ἐμφραγείσης καὶ παυομένης οἴχεται ἄρδην τοῦ ζῶντος ἡ ἁρμονία.

Ἔςι δὲ ὁ εἰσπνεόμενος ἀὴρ ἐν τοῖς ζώοις καὶ ὄχημα φωνῆς. οὗτος γὰρ ἐν τοῖς φωνητικοῖς ὀργάνοις πληττόμενος ἀπηχεῖ. ἡ δὲ φωνὴ ἐν τοῖς ἀλόγοις ἐξαγγελτική ἐστι τῶν ἐν αὐτοῖς παθῶν, τὸ αὐτὸ πάθος δι' ἀκοῆς τοῖς ὁμοίοις ἐμποιοῦσα ἡδονῆς, ἢ λύπης, ἢ ὀργῆς καὶ μίσους καὶ ἀποστροφῆς. κατ' εἶδος οὖν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τροπίζεται καὶ αὕτη διὰ τὸν ὀργανισμὸν, ἵν' εὔσημος ᾖ τοῦ ὁμογενοῦς ἐν τῷ ὁμοίῳ. οὐδ' ἁρμονίας δι' ὅλου ἀπολείπει οὐδὲ τῷ τυχόντι, καὶ τῷ συγγενομένῳ πάθει ἐπικέχρωσται. ὁρμᾶται δὲ καὶ αὕτη τὰ πολλὰ ἐξ αἰσθήσεως, ἀλλὰ καὶ φαντασίαν ἐνίοτε. ὁτὲ γὰρ ἔξωθεν, ὁτὲ δὲ καὶ ἔνδοθεν τὰ πάθη κινούμενα συγκινεῖ καὶ τὴν φωνὴν, τοῖς μὲν ἀβληχρὰν, τοῖς δὲ σύντονον καὶ τραχεῖαν, καὶ τοῖς μὲν ὀξεῖαν καὶ δύσηχον, τοῖς δὲ ἠπίαν καὶ ἱλαρὰν, καθ' ἕξιν ἔμφυτον τοῦ ἐπισχύοντος πάθους ἐν τῷ ζώῳ. ὥστε εἴτις καὶ παθολογεῖν οἶδε καὶ ἐκ τῆς φωνῆς ἂν εἰκάσειε καὶ πάθη καὶ κρᾶσιν τοῦ φωνοῦντος, καὶ μελῶν σύνθεσιν καὶ ὀργάνων εὐρύτητα, καὶ ὀργανικοῦ πνεύματος εὐφυΐαν.

## Περὶ Θυμοῦ καὶ Ἐπιθυμίας ζώων.

Θυμὸς καὶ ἐπιθυμία πάθη εἰσὶ περὶ τὴν καρδίαν τῶν ζώων κινούμενα. καὶ ἡ μὲν ἐπιθυμία ἀπολαυστική ἐστι καὶ πληρωτικὴ τοῦ ἐνδεοῦς, καὶ ἤτοι γέννημα, ἢ ἀρχὴ τῆς ὀρέξεως. ὄρεξις γάρ ἐστιν ἀνάτασις καὶ εὐρύτης τῆς καρδίας, καὶ ὅλως συγκίνησις ὀργανικὴ τοῦ ζώου πρὸς τὸ χρειῶδες καὶ πρόσφορον τῇ συστάσει τοῦ τε εἶναι καὶ συντηρεῖν ἑαυτὸ καὶ τὸ εἶδος αὐτοῦ. διὸ καὶ ὁ θυμὸς ὀρέξεως εἶδος, ἀποκρουστικὸν μὲν τοῦ ἐναντίου, καὶ τοῖς ἀπάγουσι καὶ ἀλλοτριοῦσι, καὶ διενοχλοῦσι, καὶ λυμαντικοῖς τοῦ εἶναι καὶ τῶν πρὸς τὸ εἶναι μάχιμος, φρουρητικὸν δὲ τοῦ οἰκείου καὶ προσφυοῦς. ἐντεῦθεν οὖν καὶ συνάπτεται τῇ ἐπιθυμίᾳ, ὥστε εἴ τινος ἐπιτυχεῖν

ἐρᾷ,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006